UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Stoicorvm vetervm fragmenta

Chrysippi fragmenta logica et physica

**Arnim, Hans von**

**Lipsiae, 1903**

Caput I. De cognitione doctrina

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2762

Visual Library

# Caput I.

## De cognitione doctrina.

### § 1. *Περὶ φαντασίας.*

Cf. Vol. I n. 55—59. 484.

**52** Diocles Magnes apud Diog. Laërt. VII, 49. *ἀρέσκει τοῖς Στωϊκοῖς τὸν περὶ φαντασίας καὶ αἰσθήσεως προτάττειν λόγον, καθότι τὸ κριτήριον, ᾧ ἡ ἀλήθεια τῶν πραγμάτων γινώσκεται, κατὰ γένος φαντασία ἐστί, καὶ καθότι ὁ περὶ συγκαταθέσεως καὶ ὁ περὶ καταλήψεως καὶ νοήσεως λόγος, προάγων τῶν ἄλλων, οὐκ ἄνευ φαντασίας συνίσταται· προηγεῖται γὰρ ἡ φαντασία, εἶθ' ἡ διάνοια ἐκλαλητικὴ ὑπάρχουσα, ὃ πάσχει ὑπὸ τῆς φαντασίας, τοῦτο ἐκφέρει λόγῳ.*

**53** Diog. Laërt. VII 46. *τὴν δὲ φαντασίαν εἶναι τύπωσιν ἐν ψυχῇ, τοῦ ὀνόματος οἰκείως μετενηνεγμένου ἀπὸ τῶν τύπων ⟨τῶν⟩ ἐν τῷ κηρῷ ὑπὸ τοῦ δακτυλίου γινομένων. τῆς δὲ φαντασίας τὴν μὲν καταληπτικὴν τὴν δὲ ἀκατάληπτον· καταληπτικὴν μέν, ἣν κριτήριον εἶναι τῶν πραγμάτων φασί, τὴν γινομένην ἀπὸ ὑπάρχοντος κατ' αὐτὸ τὸ ὑπάρχον ἐναπεσφραγισμένην καὶ ἐναπομεμαγμένην· ἀκατάληπτον δὲ τὴν μὴ ἀπὸ ὑπάρχοντος· ἢ ἀπὸ ὑπάρχοντος μέν, μὴ κατ' αὐτὸ δὲ τὸ ὑπάρχον· τὴν μὴ τρανῆ μηδὲ ἔκτυπον.*

**54** Aëtii plac. IV. 12, 1 (DDG p. 401, 14). ***Τίνι διαφέρει φαντασία φανταστὸν φανταστικὸν φάντασμα.*** Gal. hist. philos. 93. cf. Nemesius p. 171—73 ed. Matth.

*Χρύσιππος διαφέρειν ἀλλήλων φησὶ τέτταρα ταῦτα. φαντασία μὲν οὖν ἐστι πάθος ἐν τῇ ψυχῇ γιγνόμενον, ἐνδεικνύμενον ἐν αὑτῷ καὶ τὸ πεποιηκός· οἷον ἐπειδὰν δι' ὄψεως θεωρῶμεν τὸ λευκόν, ἔστι πάθος τὸ ἐγγεγενημένον διὰ τῆς ὁράσεως ἐν τῇ ψυχῇ. καὶ ⟨κατὰ⟩ τοῦτο τὸ πάθος εἰπεῖν ἔχομεν, ὅτι ὑπόκειται λευκὸν κινοῦν ἡμᾶς· ὁμοίως καὶ διὰ τῆς ἁφῆς καὶ τῆς ὀσφρήσεως. — Εἴρηται δὲ ἡ φαντασία ἀπὸ τοῦ φωτός· καθάπερ γὰρ τὸ φῶς αὑτὸ δείκνυσι καὶ τὰ*

---

3 Etiam in physica parte philosophiae *περὶ φαντασίας* disputatur. 13 *τῶν* addidi. 14 *γενομένων* F ‖ *καταλη//πτικήν* et mox *ἀκατάλημπτον* B 16 *φασὶ* om. BP[1]F. 17 *ἀκατάλημπτον δὲ ἢ* B *ἀκατάληπτον δὲ ἢ* PF. 18 *μὲν* om. B[1]P. ‖ *τὸ* om. P. 19 *τὴν μήτραν ἢ μηδὲ ἔκτυπον* B *τὴν μὴ τρανῆ μηδὲ ἔκτυπον* P (acc. in *μὴ* et *τρανῆ* P[3]) *τὴν μὴ τρανὴ μὴ δὲ ἔκτυπον* F. 24 *ἐν αὑτῷ* AB Nem., *αὐτότε* C Gal. 26 *κατὰ* add. Wy.

ἄλλα τὰ ἐν αὐτῷ περιεχόμενα, καὶ ἡ φαντασία δείκνυσιν ἑαυτὴν καὶ τὸ πεποιηκὸς αὐτήν.

Φανταστὸν δὲ τὸ ποιοῦν τὴν φαντασίαν· οἷον τὸ λευκὸν καὶ τὸ ψυχρὸν καὶ πᾶν ὅ,τι ἂν δύνηται κινεῖν τὴν ψυχήν, τοῦτ' ἔστι φανταστόν.

Φανταστικὸν δέ ἐστι διάκενος ἑλκυσμός, πάθος ἐν τῇ ψυχῇ ἀπ' οὐδενὸς φανταστοῦ γινόμενον καθάπερ ἐπὶ τοῦ σκιαμαχοῦντος καὶ κενοῖς ἐπιφέροντος τὰς χεῖρας· τῇ γὰρ φαντασίᾳ ὑπόκειταί τι φανταστόν, τῷ δὲ φανταστικῷ οὐδέν.

Φάντασμα δέ ἐστιν ἐφ' ὃ ἑλκόμεθα κατὰ τὸν φανταστικὸν διάκενον ἑλκυσμόν· ταῦτα δὲ γίνεται ἐπὶ τῶν μελαγχολώντων καὶ μεμηνότων· ὁ γοῦν τραγικὸς Ὀρέστης ὅταν λέγῃ (Eur. Or. 255 sq.)·

ὦ μῆτερ, ἱκετεύω σε, μὴ 'πίσειέ μοι
τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας·
αὗται γάρ, αὗται πλησίον θρώσκουσί μου,

λέγει μὲν αὐτὰ ὡς μεμηνώς, ὁρᾷ δὲ οὐδέν, ἀλλὰ δοκεῖ μόνον· διὸ καί φησιν αὐτῷ Ἠλέκτρα·

μέν', ὦ ταλαίπωρ', ἀτρέμα σοῖς ἐν δεμνίοις,
ὁρᾷς γὰρ οὐδὲν ὧν δοκεῖς σάφ' εἰδέναι,

ὡς καὶ παρ' Ὁμήρῳ Θεοκλύμενος (Od. υ 350).

**55** Diocles Magnes apud Diog. Laërt. VII, 50. διαφέρει δὲ φαντασία καὶ φάντασμα. φάντασμα μὲν γάρ ἐστι δόκησις διανοίας, οἵα γίνεται κατὰ τοὺς ὕπνους, φαντασία δέ ἐστι τύπωσις ἐν ψυχῇ, τουτέστιν ἀλλοίωσις, ὡς ὁ Χρύσιππος ἐν τῇ β' περὶ ψυχῆς ὑφίσταται. οὐδὲ γὰρ δεκτέον τὴν τύπωσιν οἱονεὶ τύπον σφραγιστῆρος, ἐπεὶ ἀνένδεκτόν ἐστι πολλοὺς τύπους κατὰ τὸ αὐτὸ περὶ τὸ αὐτὸ γίνεσθαι.

**56** Sextus Emp. adv. math. VII 227. ἀπολειπομένης δ' ἔτι τῆς στωϊκῆς δόξης παρακειμένως καὶ περὶ ταύτης λέγωμεν. κριτήριον τοίνυν φασὶν ἀληθείας εἶναι οἱ ἄνδρες οὗτοι τὴν καταληπτικὴν φαντασίαν. ταύτην δ' εἰσόμεθα, πρότερον γνόντες τί ποτέ ἐστι κατ' αὐτοὺς ἡ φαντασία καὶ τίνες ἐπ' εἴδους ταύτης διαφοραί. φαντασία οὖν ἐστὶ κατ' αὐτοὺς τύπωσις ἐν ψυχῇ. περὶ ἧς εὐθὺς καὶ διέστησαν· Κλεάνθης μὲν γὰρ ἤκουσε τὴν τύπωσιν κατὰ εἰσοχήν τε καὶ ἐξοχήν, ὥσπερ καὶ διὰ τῶν δακτυλίων γινομένην τοῦ κηροῦ τύπωσιν. Χρύσιππος δὲ ἄτοπον ἡγεῖτο τὸ τοιοῦτο. πρῶτον μὲν γάρ, φησι, τῆς διανοίας δεήσει ὑφ' ἓν ποτε τρίγωνόν τι καὶ τετράγωνον φαντασιουμένης τὸ αὐτὸ σῶμα κατὰ τὸν αὐτὸν χρόνον διαφέροντα ἔχειν περὶ

---

8 κενὰς libri, corr. Reiske. 22 ὃ pro οἵα F 24 scribendum: ἐν τῆι β' περὶ ψυχῆς. duo enim fuerunt libri. ἐν τῶι ιβ B ἐν τῶ ιβ P ἐν τῇ δυωδεκάτῃ F. ‖ οὐ PF. 25 λεκτέον F. 26 περὶ τῶ αὐτῶ B.

*αὐτῷ σχήματα ἅμα τε τρίγωνον καὶ τετράγωνον γίνεσθαι ἢ καὶ περιφερές, ὅπερ ἐστὶν ἄτοπον· εἶτα πολλῶν ἅμα φαντασιῶν ὑφισταμένων ἐν ἡμῖν παμπληθεῖς καὶ τοὺς σχηματισμοὺς ἕξειν τὴν ψυχήν, ὃ τοῦ προτέρου χεῖρόν ἐστιν. αὐτὸς οὖν τὴν τύπωσιν εἰρῆσθαι ὑπὸ τοῦ Ζήνωνος ὑπενόει ἀντὶ τῆς ἑτεροιώσεως, ὥστ' εἶναι τοιοῦτον τὸν λόγον „φαντασία ἐστὶν ἑτεροίωσις ψυχῆς" μηκέτι ἀτόπου ὄντος ⟨τοῦ⟩ τὸ αὐτὸ σῶμα ὑφ' ἕνα καὶ τὸν αὐτὸν χρόνον, πολλῶν περὶ ἡμᾶς συνισταμένων φαντασιῶν, παμπληθεῖς ἀναδέχεσθαι ἑτεροιώσεις· ὥσπερ γὰρ ὁ ἀήρ, ὅταν ἅμα πολλοὶ φωνῶσιν, ἀμυθήτους ὑπὸ ἓν καὶ διαφερούσας ἀναδεχόμενος πληγὰς εὐθὺς πολλὰς ἴσχει καὶ τὰς ἑτεροιώσεις, οὕτω καὶ τὸ ἡγεμονικὸν ποικίλως φαντασιούμενον ἀνάλογόν τι τούτῳ πείσεται.*

ibid. 372. *εἰ γὰρ τύπωσίς ἐστιν ἐν ψυχῇ ἡ φαντασία, ἤτοι κατ' ἐξοχὴν καὶ εἰσοχὴν τύπωσίς ἐστιν, ὡς οἱ περὶ τὸν Κλεάνθην νομίζουσιν, ἢ κατὰ ψιλὴν ἑτεροίωσιν γίνεται, καθάπερ οἱ π ε ρ ὶ τ ὸ ν Χ ρ ύ σ ι π π ο ν ἐδόξασαν. καὶ εἰ μὲν κατ' ἐξοχὴν καὶ εἰσοχὴν ὑφίσταται ταῦτα ἀκολουθήσει τὰ ἄτοπα ἅπερ φασὶν οἱ περὶ τὸν Χρύσιππον. εἰ γὰρ κηροῦ τρόπον τυποῦται ἡ ψυχὴ φανταστικῶς πάσχουσα, ἀεὶ τὸ ἔσχατον κίνημα ἐπισκοτήσει τῇ προτέρᾳ φαντασίᾳ, ὥσπερ καὶ ὁ τῆς δευτέρας σφραγῖδος τύπος ἐξαλειπτικός ἐστι τοῦ προτέρου. ἀλλ' εἰ τοῦτο, ἀ ν α ι ρ ε ῖ τ α ι μ ὲ ν μ ν ή μ η θ η σ α υ ρ ι σ μ ὸ ς ο ὖ σ α φ α ν τ α σ ι ῶ ν, ἀναιρεῖται δὲ πᾶσα τ έ χ ν η· σ ύ σ τ η μ α γ ὰ ρ ἦ ν κ α ὶ ἄ θ ρ ο ι σ μ α κ α τ α λ ή ψ ε ω ν, πλείονας δὲ φαντασίας καὶ διαφόρους οὐ δυνατὸν ὑποστῆναι περὶ τὸ ἡγεμονικόν, ἄλλοτε ἄλλων νοουμένων τῶν περὶ αὐτὸ τύπων. οὐ τοίνυν ἡ κυρίως νοουμένη τύπωσίς ἐστι φαντασία. ἄλλως τε εἰ ὄψις ἐστὶ τῶν ἀδήλων τὰ φαινόμενα, θεωροῦμεν δὲ τὰ πολὺ παχυμερέστερα τοῦ πνεύματος τῶν φαινομένων σώματα μηδ' ὁντινοῦν περὶ αὑτοῖς τύπον δυνάμενα τηρεῖν, εὔλογόν ἐστι μηδὲ τὸ πνεῦμα ἕνα μόνον τινὰ ἀπὸ φαντασίας τύπον φυλάττειν.*

Cf. ibid. VIII. 400. et h. op. I n. 58 (Zeno) n. 484 (Cleanthes).

57 Philo de mundi opificio § 166 Vol. I p. 58, 9 Wendl. (*αἱ αἰσθήσεις*) *τὰ φανέντα ἐκτὸς εἴσω κομίζουσαι διαγγέλλουσι καὶ ἐπιδείκνυνται, τοὺς τύπους ἑκάστων ἐνσφραγιζόμεναι καὶ τὸ ὅμοιον ἐνεργαζόμεναι πάθος. Κηρῷ γὰρ ἐοικὼς* (scil. *ὁ νοῦς*) *δέχεται τὰς διὰ τῶν αἰσθήσεων φαντασίας, αἷς τὰ σώματα καταλαμβάνει* etc.

58 Alexander Aphrod. de anima p. 72, 5 Bruns. *χρὴ δὲ τοῦ τύπου κοινότερον ἐπὶ τῆς φαντασίας ἀκούειν. Κυρίως μὲν γὰρ τύπος τὸ κατ' εἰσοχήν τε καὶ ἐξοχήν, ἢ τὸ τοῦ τυποῦντος ἐν τῷ τυπουμένῳ σχῆμα γινόμενον, ὡς ὁρῶμεν τὰ ἐπὶ τῶν σφραγίδων ἔχοντα. οὐχ οὕτως δὲ τὰ ἀπὸ τῶν αἰσθητῶν ἐγκαταλείμματα ἐν ἡμῖν γίνεται. οὐδὲ γὰρ τὴν ἀρχὴν κατὰ σχῆ-*

---

6 *τοῦ* add. B. 7 *ὑφ' ἓν κατὰ* libri. 20 patet Chrysippum uti Zenonis definitionibus. 23 *ἄλλως* libri, corr. B. 32 *καὶ* M Pal., om. ceteri ‖ *ἐνεργαζόμεναι* Pal. *ἐναυγαζόμεναι* M, om. ceteri. 37 *ἢ τὸ* libri, *ὑπὸ* Bruns.

μά τι ἡ τῶν αἰσθητῶν ἀντίληψις. ποῖον γὰρ σχῆμα τὸ λευκὸν ἢ ὅλως τὸ χρῶμα; ἢ ποῖον σχῆμα ἡ ὀσμή; ἀλλὰ δι' ἀπορίαν κυρίου τινὸς ὀνόματος τὸ ἴχνος καὶ ἐγκατάλειμμα τὸ ὑπομένον ἀπὸ τῶν αἰσθητῶν ἐν ἡμῖν τύπον καλοῦμεν μεταφέροντες τοὔνομα.

**59** Alexander Aphrod. de anima p. 68, 11 Bruns. *διὸ καὶ ὁρίζονται τὴν φαντασίαν τύπωσιν ἐν ψυχῇ καὶ τύπωσιν ἐν ἡγεμονικῷ.* (cf. ibid. 16. *ἔτι ἤτοι τὴν γινομένην τύπωσιν φαντασίαν λέγουσιν ἢ τὴν γεγονυῖαν ἤδη καὶ οὖσαν. ἀλλ' εἰ μὲν τὴν γινομένην, τὴν αἴσθησιν ἂν λέγοιεν τὴν κατ' ἐνέργειαν φαντασίαν. αὕτη γὰρ ἡ γένεσις τοῦ τύπου. ἀλλὰ γίνονται φαντασίαι καὶ χωρὶς τῆς κατὰ τὰς αἰσθήσεις ἐνεργείας. εἰ δὲ τὴν γεγονυῖαν καὶ σῳζομένην, τὴν μνήμην ἂν λέγοιεν φαντασίαν.*)

**60** Diocles Magnes apud Diog. Laërt. VII 50. *νοεῖται δὲ [ἡ] φαντασία ἡ ἀπὸ ὑπάρχοντος κατὰ τὸ ὑπάρχον ἐναπομεμαγμένη καὶ ἐναποτετυπωμένη καὶ ἐναπεσφραγισμένη, οἵα οὐκ ἂν γένοιτο ἀπὸ μὴ ὑπάρχοντος.*

**61** Diocles Magnes apud Diog. Laërt. VII 51. *τῶν δὲ φαντασιῶν κατ' αὐτοὺς αἱ μέν εἰσιν αἰσθητικαί, αἱ δ' οὔ· αἰσθητικαὶ μὲν αἱ δι' αἰσθητηρίου ἢ αἰσθητηρίων λαμβανόμεναι, οὐκ αἰσθητικαὶ δὲ αἱ διὰ τῆς διανοίας, καθάπερ τῶν ἀσωμάτων καὶ τῶν ἄλλων τῶν λόγῳ λαμβανομένων. τῶν δὲ αἰσθητικῶν ⟨αἱ μὲν⟩ ἀπὸ ὑπαρχόντων μετὰ εἴξεως καὶ συγκαταθέσεως γίνονται· εἰσὶ δὲ τῶν φαντασιῶν καὶ ἐμφάσεις, αἱ ὡς ἂν ἀπὸ ὑπαρχόντων γινόμεναι. ἔτι τῶν φαντασιῶν αἱ μέν εἰσι λογικαί, αἱ δὲ ἄλογοι· λογικαὶ μὲν αἱ τῶν λογικῶν ζῴων, ἄλογοι δὲ αἱ τῶν ἀλόγων. αἱ μὲν οὖν λογικαὶ νοήσεις εἰσίν, αἱ δ' ἄλογοι οὐ τετυχήκασιν ὀνόματος· καὶ αἱ μέν εἰσι τεχνικαί, αἱ δὲ ἄτεχνοι· ἄλλως γοῦν θεωρεῖται ὑπὸ τεχνίτου εἰκὼν καὶ ἄλλως ὑπὸ ἀτέχνου.*

**62** Cicero de divin. II. 61, 126. *praesertim cum Chrysippus, Academicos refellens, permulto clariora et certiora esse dicat, quae vigilantibus videantur, quam quae somniantibus.*

**63** Sextus adv. math. VII 162 (ex Antiocho, Stoicorum in hac re sectatore). *καὶ φαντασίαν ῥητέον εἶναι πάθος τι περὶ τὸ ζῷον ἑαυτοῦ τε καὶ τοῦ ἑτέρου παραστατικόν. οἷον προσβλέψαντές τινι, φησὶν ὁ Ἀντίοχος, διατιθέμεθά πως τὴν ὄψιν, καὶ οὐχ οὕτως αὐτὴν διακειμένην ἴσχομεν ὡς πρὶν τοῦ βλέψαι διακειμένην εἴχομεν. Κατὰ μέντοι τὴν τοιαύτην ἀλλοίωσιν δυοῖν ἀντιλαμβανόμεθα, ἑνὸς μὲν αὐτῆς τῆς ἀλλοιώσεως, τουτέστι τῆς φαντασίας, δευτέρου δὲ τοῦ τὴν ἀλλοίωσιν ἐμποιήσαντος, τουτέστι τοῦ ὁρατοῦ· καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων παραπλήσιον. ὥσπερ οὖν τὸ φῶς ἑαυτό τε δείκνυσι καὶ πάντα τὰ ἐν αὐτῷ, οὕτω καὶ ἡ φαντασία, ἀρχηγὸς οὖσα τῆς περὶ τὸ ζῷον εἰδήσεως, φωτὸς δίκην ἑαυτήν τε ἐμφανίζειν ὀφείλει καὶ τοῦ ποιήσαντος αὐτὴν ἐναργοῦς ἐνδεικτικὴ καθεστάναι.*

---

12 scil. cum dicitur, *τὸ κριτήριον κατὰ γένος φαντασία ἐστί*, nt conexus docet. *ἡ* om. BPF. 13 *καὶ ἐναποτετυπωμένη* om. F; videntur haec verba a recentioribus Chrysippo Stoicis addita esse. Cf. n. 53. 65. tria sane participia etiam apud Zenonem I n. 59 „impressum et signatum et effictum." 18 *καθάπερ καὶ ἐπὶ* F. ‖ *καὶ ἐπὶ* F. 19 *αἱ μὲν* addidi. 20 *ἕως ἂν* F (pro *αἱ ὡς ἂν*). 21 *λογιστικαί* B. Videntur haec ad *φαντασίας οὐκ αἰσθητικάς* referri; certe non omnia rationalium animalium visa *νοήσεις* appellabantur. 23 *τοῦ ὀνόματος* F. 24 *οὖν* F. 37 Cf. ipsum Chrysippum n. 54; patet Antiochum Ascalonitam Chrysippo uti.

**64** Sextus adv. math. VII 241. ἡ φαντασία γίνεται ἤτοι τῶν ἐκτὸς ἢ τῶν ἐν ἡμῖν παθῶν, ὃ δὴ κυριώτερον διάκενος ἑλκυσμὸς παρ' αὐτοῖς (scil. Stoicis) καλεῖται.

**65** Sextus adv. math. VII 242. τῶν δὲ φαντασιῶν πολλαὶ μὲν καὶ ἄλλαι εἰσὶ διαφοραί, ἀπαρκέσουσι δὲ αἱ λεχθησόμεναι. τούτων γὰρ αἱ μέν εἰσι πιθαναί, αἱ δὲ ἀπίθανοι, αἱ δὲ πιθαναὶ ἅμα καὶ ἀπίθανοι, αἱ δὲ οὔτε πιθαναὶ οὔτε ἀπίθανοι. πιθαναὶ μὲν οὖν εἰσιν αἱ λεῖον κίνημα περὶ ψυχὴν ἐργαζόμεναι, ὥσπερ νῦν τὸ ἡμέραν εἶναι καὶ τὸ ἐμὲ διαλέγεσθαι (Sextum audi) — ἀπίθανοι δὲ αἱ μὴ τοιαῦται ἀλλ' ἀποστρέφουσαι ἡμᾶς τῆς συγκαταθέσεως οἷον „εἰ ἡμέρα ἐστίν, οὐκ ἔστιν ἥλιος ὑπὲρ γῆς" „εἰ σκότος ἐστίν, ἡμέρα ἐστίν". — πιθαναὶ δὲ καὶ ἀπίθανοι καθεστᾶσιν αἱ κατὰ τὴν πρός τι σχέσιν ὁτὲ μὲν τοῖαι γινόμεναι ὁτὲ δὲ τοῖαι, οἷον αἱ τῶν ἀπόρων λόγων, οὔτε δὲ πιθαναὶ οὔτε ἀπίθανοι καθάπερ αἱ τῶν τοιούτων πραγμάτων „ἄρτιοί εἰσιν οἱ ἀστέρες" „περισσοί εἰσιν οἱ ἀστέρες". — Τῶν δὲ πιθανῶν ἢ ἀπιθάνων φαντασιῶν αἱ μέν εἰσιν ἀληθεῖς, αἱ δὲ ψευδεῖς, αἱ δὲ ἀληθεῖς καὶ ψευδεῖς, αἱ δὲ οὔτε ἀληθεῖς οὔτε ψευδεῖς. ἀληθεῖς μὲν οὖν εἰσιν ὧν ἔστιν ἀληθῆ κατηγορίαν ποιήσασθαι, ὡς τοῦ „ἡμέρα ἐστίν" ἐπὶ τοῦ παρόντος ἢ τοῦ „φῶς ἐστι", ψευδεῖς δὲ ὧν ἔστι ψευδῆ κατηγορίαν ποιήσασθαι, ὡς τοῦ κεκλάσθαι τὴν κατὰ βυθοῦ κώπην ἢ μύουρον εἶναι τὴν στοάν, ἀληθεῖς δὲ καὶ ψευδεῖς ὁποία προσέπιπτεν Ὀρέστῃ κατὰ μανίαν ἀπὸ τῆς Ἠλέκτρας (καθὸ μὲν γὰρ ὡς ἀπὸ ὑπάρχοντός τινος προσέπιπτεν, ἦν ἀληθής, ὑπῆρχε γὰρ Ἠλέκτρα· καθὸ δ' ὡς ἀπὸ Ἐρινύος, ψευδής· οὐκ ἦν γὰρ Ἐρινύς), καὶ πάλιν εἴτις ἀπὸ Δίωνος ζῶντος κατὰ τοὺς ὕπνους ὡς ἀπὸ παρεστῶτος ὀνειροπολεῖται ψευδῆ καὶ διάκενον ἑλκυσμόν. οὔτε δὲ ψευδεῖς οὔτε ἀληθεῖς εἰσιν αἱ γενικαί· ὧν γὰρ τὰ εἴδη τοῖα ἢ τοῖα, τούτων τὰ γένη οὔτε τοῖα οὔτε τοῖα, οἷον τῶν ἀνθρώπων οἱ μέν εἰσιν Ἕλληνες οἱ δὲ βάρβαροι, ἀλλ' ὁ γενικὸς ἄνθρωπος οὔτε Ἕλλην ἐστίν, ἐπεὶ πάντες ἂν οἱ ἐπ' εἴδους ἦσαν Ἕλληνες, οὔτε βάρβαρος διὰ τὴν αὐτὴν αἰτίαν. — τῶν δὲ ἀληθῶν αἱ μέν εἰσι καταληπτικαί, αἱ δὲ οὔ, οὐ καταληπτικαὶ μὲν αἱ προσπίπτουσαί τισι κατὰ πάθος· μυρίοι γὰρ φρενιτίζοντες καὶ μελαγχολῶντες ἀληθῆ μὲν ἕλκουσι φαντασίαν, οὐ καταληπτικὴν δέ, ἀλλ' ἔξωθεν καὶ ἐκ τύχης οὕτω συμπεσοῦσαν, ὅθεν οὐδὲ διαβεβαιοῦνται περὶ αὐτῆς πολλάκις, οὐδὲ συγκατατίθενται αὐτῇ. καταληπτικὴ δέ ἐστιν ἡ ἀπὸ ὑπάρχοντος καὶ κατ' αὐτὸ τὸ ὑπάρχον ἐναπομεμαγμένη καὶ ἐναπεσφραγισμένη, ὁποία οὐκ ἂν γένοιτο ἀπὸ μὴ ὑπάρχοντος. ἄκρως γὰρ ποιούμενοι ἀντιληπτικὴν εἶναι τῶν ὑποκειμένων τήνδε τὴν φαντασίαν καὶ πάντα τεχνικῶς τὰ περὶ αὐτοῖς ἰδιώματα ἀναμεμαγμένην, ἕκαστον τούτων φασὶν ἔχειν συμβεβηκός. ὧν πρῶτον μὲν τὸ ἀπὸ ὑπάρχοντος γίνεσθαι — δεύτερον δὲ τὸ καὶ ἀπὸ ὑπάρχοντος εἶναι καὶ κατ' αὐτὸ τὸ ὑπάρχον· ἔνιαι γὰρ πάλιν ἀπὸ ὑπάρχοντος μέν εἰσιν, οὐκ αὐτὸ δὲ τὸ ὑπάρχον ἰνδάλλονται, ὡς ἐπὶ τοῦ μεμηνότος Ὀρέστου μικρῷ πρότερον ἐδείκνυμεν. — οὐ μὴν ἀλλὰ καὶ ἐναπομεμαγμένην καὶ ἐναπεσφραγισμένην τυγχάνειν, ἵνα πάντα τεχνικῶς τὰ ἰδιώματα τῶν φανταστῶν ἀναμάττηται. (Ut anuli cerae impressi) οὕτω καὶ οἱ κατάληψιν ποιούμενοι τῶν ὑποκειμένων πᾶσιν ὀφείλουσι τοῖς ἰδιώμασιν αὐτῶν ἐπιβάλλειν. τὸ δὲ „οἵα οὐκ ἂν γένοιτο ἀπὸ μὴ ὑπάρχοντος" προσέθεσαν, ἐπεὶ οὐχ ὥσπερ οἱ ἀπὸ τῆς

2 Cf. quae de phantastico et de phantasmate Chrysippus dicit n. 54.
15 verba: ἢ ἀπιθάνων abesse malim. 43 φανταστῶν scripsi, φαντασιῶν libri.

*Στοᾶς ἀδύνατον ὑπειλήφασι κατὰ πάντα ἀπαράλλακτόν τινα εὑρεθήσεσθαι, οὕτω καὶ οἱ ἀπὸ τῆς Ἀκαδημίας. ἐκεῖνοι μὲν γάρ φασιν ὅτι ὁ ἔχων τὴν καταληπτικὴν φαντασίαν τεχνικῶς προσβάλλει τῇ ὑπούσῃ τῶν πραγμάτων διαφορᾷ, ἐπείπερ καὶ εἶχέ τι τοιοῦτον ἰδίωμα ἡ τοιαύτη φαντασία παρὰ τὰς ἄλλας φαντασίας καθάπερ οἱ κεράσται παρὰ τοὺς ἄλλους ὄφεις· οἱ δὲ ἀπὸ τῆς Ἀκαδημίας τοὐναντίον φασὶ δύνασθαι τῇ καταληπτικῇ φαντασίᾳ ἀπαράλλακτον εὑρεθήσεσθαι ψεῦδος.*

(haec omnia antiquioribus Stoicis tribuit Sextus ibid. 255). Cf. Sextus VIII 67 sq.

**66** Cicero Acad. Pr. II 47. Nam cum dicatis, inquiunt (scil. novi Academici contra Stoicos disputantes), visa quaedam mitti a deo, velut ea quae in somnis videantur, quaeque oraculis, auspiciis, extis declarentur — haec enim aiunt probari Stoicis, quos contra disputant — quaerunt, quonam modo, falsa visa quae sint, ea deus efficere possit probabilia etc.

**67** Sextus adv. math. VII 405 (Carneades). *εἰ οὖν καταληπτικαί τινές εἰσι φαντασίαι παρόσον ἐπάγονται ἡμᾶς εἰς συγκατάθεσιν καὶ εἰς τὸ τὴν ἀκόλουθον αὐταῖς πρᾶξιν συνάπτειν* etc.

Ex Stoicorum sententia hoc dictum esse conexus probat.

**68** Sextus adv. math. VII 424 (Carneades). *ἵνα γε μὴν αἰσθητικὴ γένηται φαντασία κατ' αὐτούς* (scil. Stoicos), *οἷον ὁρατική, δεῖ πέντε συνδραμεῖν, τό τε αἰσθητήριον καὶ τὸ αἰσθητὸν καὶ τὸν τόπον καὶ τὸ πῶς καὶ τὴν διάνοιαν, ὡς ἐὰν τῶν ἄλλων παρόντων ἓν μόνον ἀπῇ, καθάπερ διάνοια παρὰ φύσιν ἔχουσα, οὐ σωθήσεται, φασίν, ἡ ἀντίληψις.*

**69** Sextus adv. math. VII 426. *ζητούντων ἡμῶν τίς ἐστιν ἡ καταληπτικὴ φαντασία, ὁριζόμενοί φασιν „ἡ ἀπὸ ὑπάρχοντος* etc. etc.“ *εἶτα πάλιν (ἐπεὶ πᾶν τὸ ὁρικῶς διδασκόμενον ἐκ γινωσκομένων διδάσκεται) προσανακρινόντων ἡμῶν τί ποτ' ἔστι καὶ τὸ ὑπάρχον, ἀναστρέψαντές φασιν ὅτι ὑπάρχον ἐστὶν ὃ κινεῖ καταληπτικὴν φαντασίαν.*

**70** Alexander de anima p. 71, 10. Bruns. *τὰς δὴ ἀληθεῖς τῶν φαντασιῶν καὶ σφοδρὰς εἰώθαμεν λέγειν καὶ καταληπτικάς, τῷ κατάληψιν εἶναι τὴν ταῖς τοιαύταις φαντασίαις συγκατάθεσιν, ἀκατάληπτον δὲ φαντασίαν καλοῦμεν τήν τε ψευδῆ καὶ τῶν ἀληθῶν τὰς ἀμυδράς.*

## § 2. *Περὶ αἰσθήσεως.*

**71** Diocles Magnes apud Diog. Laërt. VII 52. *αἴσθησις δὲ λέγεται κατὰ τοὺς Στωϊκοὺς τό τε ἀφ' ἡγεμονικοῦ πνεῦμα [καὶ] ἐπὶ τὰς αἰσθήσεις διῆκον καὶ ἡ δι' αὐτῶν κατάληψις καὶ ἡ περὶ τὰ αἰσθητήρια κατασκευή, καθ' ἣν τινες πηροὶ γίνονται. καὶ ἡ ἐνέργεια δὲ αἴσθησις καλεῖται.*

**72** Aët. Plac. IV 8, 12. *Οἱ Στωϊκοὶ πᾶσαν αἴσθησιν εἶναι συγκατάθεσιν καὶ κατάληψιν.*

**73** Cicero Acad. Pr. II 108. Alterum est, quod negatis actionem ullius rei posse in eo esse, qui nullam rem adsensu suo comprobet. Primum enim videri oportere, in quo sit etiam adsensus. Dicunt enim

---

2 Cf. n. 112 sq. 7 de hac Stoicorum cum Academicis lite infra plura proponentur. 15 probabilia = *πιθανά*. 34 Quae ad psychologiam pertinent, quaere in parte physica. 36 *καὶ* om. BP, habet F. 42 oportere *Baiter,* oportet *libri.*

Stoici sensus ipsos adsensus esse; quos quoniam adpetitio consequatur, actionem sequi; tolli autem omnia, si visa tollantur.

**74** Porphyrius de anima apud Stobaeum ed. II 349, 23 W. *τῶν ἀπὸ τῆς Στοᾶς τὴν αἴσθησιν οὐκ ἐν τῇ φαντασίᾳ ἱστάντων μόνον, ἀλλὰ τὴν οὐσίαν ἀναρτώντων ἀπὸ τῆς συγκαταθέσεως· αἰσθητικῇ γὰρ φαντασίᾳ συγκατάθεσίς ἐστιν ἡ αἴσθησις, τῆς συγκαταθέσεως καθ' ὁρμὴν οὔσης.*

**75** Galenus in Hippocr. de medic. officina Vol. XVIII B p. 654 K. *καὶ μὴν καὶ τοιαύτην ἐξήγησιν ἔγραψάν τινες· οὐ τὸ αὐτὸ σημαίνεσθαί φασιν ἐκ τοῦ φάναι „καὶ ἰδεῖν καὶ θιγεῖν καὶ ἀκοῦσαι ἔστι“ τῷ „καὶ τῇ ὄψει καὶ τῇ ἀκοῇ καὶ τῇ ἁφῇ ἔστιν αἰσθάνεσθαι“. ἰδεῖν μὲν γὰρ ἔστι καὶ θιγεῖν καὶ ἀκούειν μὴ καταληπτικῶς, αἰσθάνεσθαι δὲ οὐκέτι μὴ καταληπτικῶς. ἔστι δὲ ἡ τοιαύτη τῆς αἰσθήσεως ἐξήγησις τοῦ Σιμίου τοῦ Στωϊκοῦ, διὸ καὶ ⟨ὁ⟩ τοῦ Κοΐντου μαθητὴς Ἰφικιανὸς αὐτὴν προσήκατο, τὴν Στωϊκὴν ἀσπαζόμενος φιλοσοφίαν. ἀλλ' ὃ λέγουσίν ἐστι τοιοῦτον. τὸ μὲν ἕτερον μέρος τῆς ῥήσεως περὶ τοῦ γένους μόνου διδάσκει τῶν πραγμάτων, ἐξ ὧν αἱ σημειώσεις ἡμῶν γίγνονται· τὸ δὲ δεύτερον περὶ τοῦ κατ' αὐτὸ διηκριβωμένου τε καὶ πιστοῦ, ὡς εἰ καὶ οὕτως ἐγέγραπτο· „προσῆκε ποιεῖσθαι τὰς διαγνώσεις ἀπὸ τῶν ὁμοίων τε καὶ ἀνομοίων τοῖς κατὰ φύσιν ἐν τῷ τοῦ κάμνοντος σώματι φαινομένων. ταῦτα δέ ἐστι τὰ αἰσθητὰ καὶ τούτων οὐχ ὅσα παρεῖδεν ἢ παρήκουσεν ἢ ὅλως παρῄσθετο κατά τινα τῶν αἰσθήσεων, ἀλλ' ἃ καλῶς καὶ καταληπτικῶς τῶν αἰσθήσεων ἑκάστη ᾔσθετο καὶ τῇ γνώμῃ“. συγκεχρῆσθαι γάρ φησι τῇ τοῦ αἰσθέσθαι φωνῇ τὸν Ἱπποκράτην κατὰ τῆς γνώμης.*

**76** Sextus adv. math. VIII 185. *οἱ δὲ ἀπὸ τῆς Στοᾶς καὶ τοῦ Περιπάτου μέσην ὁδὸν τέμνοντες ἔνια μὲν ὑποκεῖσθαι τῶν αἰσθητῶν ἔλεξαν ὡς ἀληθῆ, ἔνια δὲ μὴ ὑπάρχειν, ψευδομένης περὶ αὐτῶν τῆς αἰσθήσεως.*

**77** Cicero Acad. Pr. II 101. Neque nos (scil. Academici) contra sensus aliter dicimus ac Stoici, qui multa falsa esse dicunt longeque aliter se habere ac sensibus videantur.

**78** Aët. Plac. IV 9, 4. *Οἱ Στωϊκοὶ τὰς μὲν αἰσθήσεις ἀληθεῖς, τῶν δὲ φαντασιῶν τὰς μὲν ἀληθεῖς, τὰς δὲ ψευδεῖς.*

**79** Galenus de dignoscendis pulsibus I 5. Vol. VIII p. 793. *πρῶτα γάρ ἐστιν αἰσθητὰ ἐν τοῖς ἡμετέροις σώμασι τὰ παθήματα, δεύτερα δὲ τὰ τούτων ποιητικὰ ἐκτὸς ὑποκείμενα.*

**80** Sextus adv. math. IX 352. *τοιούτων δὲ ἠπορημένων κατὰ τὸν τόπον εἰώθασιν οἱ δογματικοί — λέγειν ὅτι τὸ μὲν ἐκτὸς ὑποκείμενον καὶ αἰσθητὸν οὔτε ὅλον ἐστὶν οὔτε μέρος, ἡμεῖς δέ ἐσμεν οἱ ἐκείνου τό τε ὅλον καὶ τὸ μέρος ἐπικατηγοροῦντες. ἦν γὰρ τὸ ὅλον τῶν πρός τι· ὡς γὰρ πρὸς τὰ μέρη ἐνοεῖτο τὸ ὅλον· καὶ πάλιν τὰ μέρη τῶν πρός τι· ὡς γὰρ πρὸς τὸ ὅλον νοεῖται τὰ μέρη· τὰ δὲ πρός τι ἐν συμμνημονεύσει ἐστὶν ἡμετέρᾳ, ἡ δὲ ἡμετέρα συμμνημόνευσίς ἐστιν ἐν ἡμῖν. τὸ οὖν ὅλον καὶ τὸ μέρος ἐστὶν ἐν ἡμῖν. τὸ δὲ ἐκτὸς ὑποκείμενον αἰσθητὸν οὔτε ὅλον ἐστὶν οὔτε μέρος, ἀλλὰ πρᾶγμα οὗ ἡμεῖς ἐπικατηγοροῦμεν τὴν ἡμῶν αὐτῶν συμμνημόνευσιν.*

---

5 *αἰσθητικῇ-φαντασίᾳ* scripsi, *αἰσθητικὴ φαντασία* libri. 19 *δέ ἐστι* scripsi, *δὲ καὶ* ed. 23 verba sunt Hippocratis, quae explicare studet Galenus; sententia, quam Simiae Stoico tribuit, Stoicorum communis est. 26 *αἴσθησις* vocabulum a Sexto patet ita hic usurpari ut non *κατάληψιν* significet, sed *ἐνέργειαν τοῦ αἰσθητηρίου*. Cf. n. 71.

**81** Aëti Plac. IV 9, 13. *Χρύσιππος τὸ μὲν γενικὸν ἡδὺ νοητόν, τὸ δὲ εἰδικὸν καὶ προσπῖπτον ἤδη αἰσθητόν.*

### § 3. Περὶ ἐννοημάτων.

Cf. Vol. I n. 65.

**82** Quae secuntur fragmenta ad Chrysippi doctrinam accommodata esse probabile duco. Is enim κριτήρια ἀπολείπει αἴσθησιν καὶ πρόληψιν (n. 105), is moralia placita eo commendat, quod τῶν ἐμφύτων ἅπτονται προλήψεων (III n. 69); idem dixit τὸ γενικὸν ἡδὺ νοητόν (81) et ἐμπειρίας vocabulo saepius usus est, ut in finis bonorum definitione: ζῆν κατ' ἐμπειρίαν τῶν φύσει συμβαινόντων (III n. 4).

**83** Aëtii Plac. IV 11. Πῶς γίνεται ἡ αἴσθησις καὶ ἡ ἔννοια καὶ ὁ κατὰ ἐνδιάθεσιν λόγος. Gal. 92.

Οἱ Στωϊκοί φασιν· ὅταν γεννηθῇ ὁ ἄνθρωπος, ἔχει τὸ ἡγεμονικὸν μέρος τῆς ψυχῆς ὥσπερ χάρτην εὔεργον εἰς ἀπογραφήν· εἰς τοῦτο μίαν ἑκάστην τῶν ἐννοιῶν ἐναπογράφεται. — Πρῶτος δὲ [ὁ] τῆς ἀναγραφῆς τρόπος ὁ διὰ τῶν αἰσθήσεων. αἰσθανόμενοι γάρ τινος οἷον λευκοῦ, ἀπελθόντος αὐτοῦ μνήμην ἔχουσιν· ὅταν δὲ ὁμοειδεῖς πολλαὶ μνῆμαι γένωνται, τότε φαμὲν ἔχειν ἐμπειρίαν· ἐμπειρία γάρ ἐστι τὸ τῶν ὁμοειδῶν φαντασιῶν πλῆθος. — Τῶν δὲ ἐννοιῶν αἱ μὲν φυσικῶς γίνονται κατὰ τοὺς εἰρημένους τρόπους καὶ ἀνεπιτεχνήτως, αἱ δὲ ἤδη δι' ἡμετέρας διδασκαλίας καὶ ἐπιμελείας· αὗται μὲν οὖν ἔννοιαι καλοῦνται μόνον, ἐκεῖναι δὲ καὶ προλήψεις. — Ὁ δὲ λόγος, καθ' ὃν προσαγορευόμεθα λογικοὶ ἐκ τῶν προλήψεων συμπληροῦσθαι λέγεται κατὰ τὴν πρώτην ἑβδομάδα. ἔστι δ' ἐννόημα φάντασμα διανοίας λογικοῦ ζῴου· τὸ γὰρ φάντασμα ἐπειδὰν λογικῇ προσπίπτῃ ψυχῇ, τότε ἐννόημα καλεῖται, εἰληφὸς τοὔνομα παρὰ τοῦ νοῦ. — Διόπερ τοῖς ἀλόγοις ζῴοις ὅσα προσπίπτει, φαντάσματα μόνον ἐστίν· ὅσα δὲ ἡμῖν καὶ τοῖς θεοῖς, ταῦτα καὶ φαντάσματα κατὰ γένος καὶ ἐννοήματα κατ' εἶδος· ὥσπερ τὰ δηνάρια καὶ οἱ στατῆρες αὐτὰ μὲν καθ' αὑτὰ ὑπάρχει δηνάρια ⟨καὶ⟩ στατῆρες· ἐὰν δὲ εἰς πλοίων δοθῇ μίσθωσιν, τηνικαῦτα πρὸς τῷ δηνάρια εἶναι καὶ ναῦλα λέγεται.

**84** Diocles Magnes apud Diog. Laërt. VII 52. ἡ δὲ κατάληψις γίνεται κατ' αὐτοὺς αἰσθήσει μὲν λευκῶν καὶ μελάνων καὶ τραχέων καὶ λείων, λόγῳ δὲ τῶν δι' ἀποδείξεως συναγομένων, ὥσπερ τοῦ θεοὺς εἶναι καὶ προνοεῖν τούτους.

**85** Sextus adv. math. VIII 409. οἱ δὲ (scil. Stoici) καὶ δι' ὑποδειγμάτων πειρῶνται τὸ ἀξιούμενον παραμυθεῖσθαι (scil. ὅτι τὰ ἀσώματα οὐ ποιεῖ τι οὐδὲ φαντασιοῖ ἡμᾶς, ἀλλ' ἡμεῖς ἐσμεν οἱ ἐπ' ἐκείνοις φαντασιούμενοι cf. § 406). ὥσπερ γάρ, φασίν, ὁ παιδοτρίβης καὶ ὁ ὁπλομάχος ἔσθ' ὅτε μὲν λαβόμενος τῶν χειρῶν τοῦ παιδὸς ῥυθμίζει καὶ διδάσκει τινὰς κινεῖσθαι κινήσεις, ἔσθ' ὅτε δὲ ἄπωθεν ἑστὼς καί πως κινούμενος ἐν ῥυθμῷ παρέχει ἑαυτὸν ἐκείνῳ πρὸς μίμησιν, οὕτω καὶ τῶν φανταστῶν ἔνια μὲν οἱονεὶ ψαύοντα καὶ θιγγάνοντα τοῦ ἡγεμονικοῦ ποιεῖται τὴν ἐν τούτῳ τύ-

---

2 ἡδὺ coni. Petersen. 12 διάθεσιν libri, corr. Wyttenb. 14 ἐνεργὸν libri, corr. Diels. 15 ὁ seclusi 24 ἐννόημα Diels, νόημα libri. 25 τὸν νοῦν libri, corr. Diels. 26 οὐ libri, ὅσα Diels. — Cf. n. 61. 29 add. Diels. 32 αὐτῆς F. 33 τοῦ scripsi, τὸ libri.

πωσιν, ὁποῖόν ἐστι τὸ λευκὸν καὶ μέλαν καὶ κοινῶς τὸ σῶμα, ἔνια δὲ τοιαύτην ἔχει φύσιν, τοῦ ἡγεμονικοῦ ἐπ' αὐτοῖς φαντασιουμένου καὶ οὐχ ὑπ' αὐτῶν, ὁποῖά ἐστι τὰ ἀσώματα λεκτά.

**86** Philo de provid. II § 58 (p. 85 Aucher). Quid tamen, quaeso, sit unquam species, nisi universalis alicuius comprehensio? Et intellectui quid occurrat universale aliud, quod deus prius non fecerit, menti inserens fecunditatem, quae optime est apta ad admovendum sibi singula, occurrentibus signis vel antea conceptis pro naturis inquirendis.

**87** Diocles Magnes apud. Diog. Laërt. VII 52. τῶν—νοουμένων τὰ μὲν κατὰ περίπτωσιν ἐνοήθη, τὰ δὲ καθ' ὁμοιότητα, τὰ δὲ κατ' ἀναλογίαν, τὰ δὲ κατὰ μετάθεσιν, τὰ δὲ κατὰ σύνθεσιν, τὰ δὲ κατ' ἐναντίωσιν. κατὰ περίπτωσιν μὲν οὖν ἐνοήθη τὰ αἰσθητά, καθ' ὁμοιότητα δὲ [τὰ] ἀπό τινος παρακειμένου, ὡς Σωκράτης ἀπὸ τῆς εἰκόνος, κατ' ἀναλογίαν δὲ αὐξητικῶς μέν, ὡς ὁ Τιτυὸς καὶ Κύκλωψ, μειωτικῶς δέ, ὡς ὁ Πυγμαῖος. καὶ τὸ κέντρον δὲ τῆς γῆς κατ' ἀναλογίαν ἐνοήθη ἀπὸ τῶν μικροτέρων σφαιρῶν. κατὰ μετάθεσιν δὲ· οἷον ὀφθαλμοὶ ἐπὶ τοῦ στήθους· κατὰ σύνθεσιν δὲ ἐνοήθη Ἱπποκένταυρος· καὶ κατ' ἐναντίωσιν θάνατος.

νοεῖται δὲ καὶ κατὰ μετάβασίν τινα, ὡς τὰ λεκτὰ καὶ ὁ τόπος. φυσικῶς δὲ νοεῖται δίκαιόν τι καὶ ἀγαθόν· καὶ κατὰ στέρησιν, οἷον ἄχειρ. — Cf. III n. 72.

**88** Sextus adv. math. VIII 56. πᾶσα γὰρ νόησις ἀπὸ αἰσθήσεως γίνεται ἢ οὐ χωρὶς αἰσθήσεως, καὶ ἢ ἀπὸ περιπτώσεως ἢ οὐκ ἄνευ περιπτώσεως. ὅθεν οὐδὲ τὰς λεγομένας ψευδεῖς φαντασίας, οἷον τὰς καθ' ὕπνους ἢ τὰς κατὰ μανίαν, εὑρήσομεν ἀπηρτημένας τῶν διὰ τῆς αἰσθήσεως κατὰ περίπτωσιν ἡμῖν ἐγνωσμένων. — καὶ καθόλου οὐδὲν ἔστιν εὑρεῖν κατ' ἐπίνοιαν ὃ μὴ ἔχει τις αὐτῷ κατὰ περίπτωσιν ἐγνωσμένον. τοῦτο γὰρ ἢ καθ' ὁμοιότητα τῶν ἐν περιπτώσει πεφηνότων ληφθήσεται ἢ κατὰ παραύξησιν ἢ κατὰ μείωσιν ἢ κατ' ἐπισύνθεσιν (sequuntur exempla) cf. id. IX 393—395.

**89** Galenus defin. medicae 126 Vol. XIX p. 381 K. ἐπίνοιά ἐστιν ἐναποκειμένη νόησις· νόησις δὲ λογικὴ φαντασία.

## § 4. *Κατάληψις, ἐπιστήμη, τέχνη.*

Cf. Vol. I n. 66—73. 490.

**90** Sextus adv. math. VII 151. τρία γὰρ εἶναί φασιν ἐκεῖνοι (Stoici ab Arcesilao impugnati i. e. Zeno et Cleanthes) τὰ συζυγοῦντα ἀλλήλοις, ἐπιστήμην καὶ δόξαν καὶ τὴν ἐν μεθορίᾳ τούτων τεταγμένην κατάληψιν, ὧν ἐπιστήμην μὲν εἶναι τὴν ἀσφαλῆ καὶ βεβαίαν καὶ ἀμετάθετον ὑπὸ λόγου κατάληψιν, δόξαν δὲ τὴν ἀσθενῆ καὶ ψευδῆ συγκατάθεσιν, κατάληψιν δὲ τὴν μεταξὺ τούτων, ἥτις ἐστὶ καταληπτικῆς φαντασίας συγκατάθεσις· καταληπτικὴ δὲ φαντασία κατὰ τούτους ἐτύγχανεν ἡ ἀληθὴς καὶ τοιαύτη οἵα οὐκ ἂν γένοιτο ψευδής. ὧν τὴν μὲν ἐπιστήμην ἐν μόνοις ὑφίστασθαι λέγουσι τοῖς

---

1 κατὰ περίπτωσιν hoc dicitur n. 87. 8 antea conceptis] προλήψεις in graeco videtur fuisse. 11 τὰ δὲ κατὰ μετάθεσιν om. BPL. 12 οὖν om. F. ‖ τὰ ἀπὸ BPF, τὰ ex antecedente τὰ αἰσθητὰ interpolatum. 14 ὡς om. BP. 16 δὲ οὖν οἱ B. 18 καὶ om. B. ‖ λεκτὰ om. B in lacuna. 28 A Stoicis Scepticos haec mutuari praeter cetera probat Diocles ap. Diog. Laërt. VII 52.

σοφοῖς, τὴν δὲ δόξαν ἐν μόνοις τοῖς φαύλοις, τὴν δὲ κατάληψιν κοινὴν ἀμφοτέρων εἶναι καὶ ταύτην κριτήριον ἀληθείας καθεστάναι.

**91** Sextus adv. math. VIII 396. ἐπεὶ καὶ οἱ Στωϊκοὶ μάλιστα δοκοῦσιν ἐξηκριβωκέναι τοὺς ἀποδεικτικοὺς τρόπους, φέρε καὶ πρὸς τούτους ὀλίγα διεξέλθωμεν. — 397. ἔστι μὲν οὖν ἡ κατάληψις, ὡς ἔστι παρ' αὐτῶν ἀκούειν, καταληπτικῆς φαντασίας συγκατάθεσις, ἥτις διπλοῦν ἔοικεν εἶναι πρᾶγμα, καὶ τὸ μέν τι ἔχειν ἀκούσιον, τὸ δὲ ἑκούσιον καὶ ἐπὶ τῇ ἡμετέρᾳ κρίσει κείμενον. τὸ μὲν γὰρ φαντασιωθῆναι ἀβούλητον ἦν· καὶ οὐκ ἐπὶ τῷ πάσχοντι ἔκειτο ἀλλ' ἐπὶ τῷ φαντασιοῦντι τὸ οὑτωσὶ διατεθῆναι, οἷον λευκαντικῶς λευκοῦ ὑποπεσόντος χρώματος ἢ γλυκαντικῶς γλυκέος τῇ γεύσει προσαχθέντος· τὸ δὲ συγκαταθέσθαι τούτῳ τῷ κινήματι ἔκειτο ἐπὶ τῷ παραδεχομένῳ τὴν φαντασίαν.

**92** Cicero Acad. Pr. II 119. Quamcumque vero sententiam probaverit (scil. sapiens), eam sic animo comprensam habebit ut ea, quae sensibus, nec magis adprobabit nunc lucere, quam, quoniam Stoicus est, hunc mundum esse sapientem, habere mentem, quae et se et ipsum fabricata sit et omnia moderetur, moveat, regat. Erit ei persuasum etiam solem, lunam, stellas omnes, terram, mare deos essse, quod quaedam animalis intelligentia per omnia ea permanet et transeat; fore tamen aliquando, ut omnis hic mundus ardore deflagret.

**93** Galenus defin. medicae 7. Vol. XIX p. 350. ἐπιστήμη ἐστὶ κατάληψις ἀσφαλὴς καὶ ἀμετάπτωτος ὑπὸ λόγου. δυνατὸν δὲ καὶ οὕτως ὁρίσασθαι· ἐπιστήμη ἐστὶν ἕξις ἀμετάπτωτος ἐκ φαντασιῶν δόξαν ἀμέμπτως ὑπὸ λόγου παρεχομένη, 8. τέχνη ἐστὶ σύστημα ἐκ καταλήψεων συγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. ἢ οὕτως· τέχνη ἐστὶ σύστημα ἐκ καταλήψεων συγγεγυμνασμένον ἐφ' ἓν τέλος τὴν ἀναφορὰν ἐχόντων.

**94** Scholia in Dionys. Thrac. p. 649 Bekker Anecd. Gr. II. Οἱ δὲ Στωϊκοὶ λέγουσι· τέχνη ἐστὶ σύστημα ἐκ καταλήψεων ἐμπειρίᾳ συγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ.

**95** Philo de congressu erud. gratia § 141 Vol. III p. 101, 5 Wendl. Τέχνης μὲν γὰρ ὅρος οὗτος· σύστημα ἐκ καταλήψεων συγγεγυμνασμένων, πρός τι τέλος εὔχρηστον (τοῦ εὐχρήστου διὰ τὰς κακοτεχνίας ὑγιῶς προστιθεμένου). Ἐπιστήμης δέ· κατάληψις ἀσφαλὴς καὶ βέβαιος, ἀμετάπτωτος ὑπὸ λόγου. μουσικὴν μὲν οὖν καὶ γραμματικὴν καὶ τὰς συγγενεῖς καλοῦμεν τέχνας — — φιλοσοφίαν δὲ καὶ τὰς ἄλλας ἀρετὰς ἐπιστήμας καὶ τοὺς ἔχοντας αὐτὰς ἐπιστήμονας. φρόνιμοι γάρ εἰσι καὶ σώφρονες καὶ φιλόσοφοι, ὧν οὐδὲ εἷς ἐν τοῖς τῆς διαπεπονημένης ἐπιστήμης σφάλλεται δόγμασι, καθάπερ οἱ προειρημένοι ἐν τοῖς τῶν μέσων τεχνῶν θεωρήμασιν.

**96** Sextus Pyrrh. Hypot. III 188. πάλιν οἱ Στωϊκοὶ περὶ ψυχὴν ἀγαθά φασιν εἶναι τέχνας τινὰς τὰς ἀρετάς· τέχνην δὲ εἶναί φασι σύστημα ἐκ καταλήψεων συγγεγυμνασμένων, τὰς δὲ καταλήψεις γίγνεσθαι περὶ τὸ ἡγεμονικόν. Πῶς οὖν ἐν τῷ ἡγεμονικῷ, πνεύματι κατ' αὐτοὺς ὑπάρχοντι, ἐναπόθεσις γίγνεται καταλήψεων καὶ ἀθροισμὸς τοσούτων ὡς γενέσθαι τέχνην,

---

6 κατάληψις scripsi, ἀπόδειξις libri. 16 num *libri, corr. Cratander.* 20 permeet *cod. AB.* 24 videntur haec corrupta; fortasse fuit: ἕξις ἀμετάπτωτος ἐν φαντασιῶν προσδέξει ἢ ἀμετάπτωτον ὑπὸ λόγου παρεχομένη. ‖ ἐγγεγυμνασμένων bis ed. 32 συγγεγυμνασμένων Wendl., ἐγγεγυμνασμένων codd.

οὐχ οἷόν τε ἐννοῆσαι, τῆς ἐπιγιγνομένης τυπώσεως ἀεὶ τὴν πρὸ αὐτῆς ἀπαλειψούσης, ἐπεὶ χυτόν τέ ἐστι τὸ πνεῦμα καὶ ἐξ ὅλου κινεῖσθαι λέγεται καθ' ἑκάστην τύπωσιν.

97 Sextus adv. math. XI 182. τέχνη γάρ ἐστι σύστημα ἐκ καταλήψεων, καὶ κατάληψίς ἐστι καταληπτικῆς φαντασίας συγκατάθεσις.

ibid. 183. πρὸς τούτοις ἡ καταληπτικὴ φαντασία κρίνεται κατὰ τοὺς Στωϊκούς, ὅτι καταληπτική ἐστι τῷ ἀπὸ ὑπάρχοντος γενέσθαι καὶ κατ' αὐτὸ τὸ ὑπάρχον ἐναπομεμαγμένως καὶ ἐναπεσφραγισμένως· τό θ' ὑπάρχον δοκιμάζεται, ὅτι ὑπάρχον ἐστίν, ἐκ τοῦ καταληπτικὴν κινεῖν φαντασίαν. cf. Pyrrh. Hypot. III 242.

98 Ps. Galeni Prognostica ex mathem. scientia 1 Vol. XIX p. 529 K. Περὶ μὲν τοῦ ὑπαρκτὴν εἶναι τὴν μαθηματικὴν ἐπιστήμην ἤρκει καὶ ἡ τῶν Στωϊκῶν φιλοσόφων, ἀνδρῶν καὶ λόγους διεκπεπονημένων καὶ τὸν βίον ὁποῖός ἐστι παραστησάντων δόξα.

99 Philo de congressu erud. gratia § 146 Vol. III p. 102, 15 Wendl. Καίτοιγ' οὐδὲ τοῦτό τις ἀγνοεῖ, ὅτι πάσαις ταῖς κατὰ μέρος (scil. ἐπιστήμαις) τὰς ἀρχὰς καὶ τὰ σπέρματα, ἐξ ὧν ἀναβλαστεῖν ἔδοξε τὰ θεωρήματα, φιλοσοφία δεδώρηται. Ἰσόπλευρα γὰρ καὶ σκαληνά, κύκλους τε καὶ πολυγώνια καὶ τὰ ἄλλα σχήματα γεωμετρία προσεξεῦρε· σημείου δὲ καὶ γραμμῆς καὶ ἐπιφανείας καὶ στερεοῦ φύσιν, ἃ δὴ ῥίζαι καὶ θεμέλιοι τῶν λεχθέντων εἰσίν, οὐκέτι γεωμετρία. Πόθεν γὰρ αὐτῇ λέγειν ὁριζομένῃ, ὅτι σημεῖον μέν ἐστιν, οὗ μέρος οὐδέν, γραμμὴ δὲ μῆκος ἀπλατές, ἐπιφάνεια δὲ ὃ μῆκος καὶ πλάτος μόνον ἔχει, στερεὸν δὲ ὃ τὰς τρεῖς ἔχει διαστάσεις, μῆκος, πλάτος, βάθος; Ταῦτα γὰρ ἀνάκειται φιλοσοφίᾳ, καὶ ἡ περὶ ὅρων πραγματεία πᾶσα τῷ φιλοσόφῳ. — Τό γε μὴν γράφειν καὶ ἀναγιγνώσκειν γραμματικῆς τῆς ἀτελεστέρας ἐπάγγελμα, ἣν παρατρέποντές τινες γραμματιστικὴν καλοῦσιν· τῆς δὲ τελειοτέρας ἀνάπτυξις τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν. Ἐπειδὰν οὖν περὶ τῶν τοῦ λόγου διεξέρχωνται μερῶν, τότε οὐ τὰ φιλοσοφίας εὑρήματα παρασπῶνταί τε καὶ παρεργολαβοῦσι; ταύτης γὰρ ἴδιον ἐξετάζειν, τί σύνδεσμος, τί ὄνομα, τί ῥῆμα, τί κοινὸν ὄνομα, τί ἴδιον, τί ἐλλιπὲς ἐν λόγῳ, τί πλῆρες, τί ἀποφαντόν, τί ἐρώτημα, τί πύσμα, τί περιεκτικόν, τί εὐκτικόν, τί ἀρατικόν. τὰς γὰρ περὶ αὐτοτελῶν καὶ ἀξιωμάτων καὶ κατηγορημάτων πραγματείας ἥδ' ἐστὶν ἡ συνθεῖσα· ἡμίφωνον δὲ ἢ φωνῆεν ἢ παντελῶς ἄφωνον στοιχεῖον ἰδεῖν καὶ πῶς ἕκαστον τούτων εἴωθε λέγεσθαι, καὶ πᾶσα ἡ περὶ φωνῆς καὶ στοιχείων καὶ τῶν τοῦ λόγου μερῶν ἰδέα, οὐ φιλοσοφίᾳ πεπόνηται καὶ κατήνυσται; (l. 31 expecto: προστακτικόν pro περιεκτικόν)

100 Plutarchus quomodo adol. poët. aud. debeat p. 34 b. Τὴν δ' ἐπὶ πλέον τῶν λεγομένων χρῆσιν ὑπέδειξεν ὀρθῶς ὁ Χρύσιππος, ὅτι δεῖ μετάγειν καὶ διαβιβάζειν ἐπὶ τὰ ὁμοειδῆ τὸ χρήσιμον. ὅ τε γὰρ Ἡσίοδος εἰπών (Op. et D. 348)

'οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη'

καὶ περὶ κυνὸς ταὐτὸ καὶ περὶ ὄνου λέγει καὶ περὶ πάντων ὁμοίως τῶν ἀπολέσθαι δαναμένων. Καὶ πάλιν τοῦ Εὐριπίδου λέγοντος (inc.

---

18 πολύγωνα H[1]GF. 21 αὐτὴ λέγει ὁριζομένη Turn. 32 εὐκτικόν, τί ἀρατικόν Wendl., εὐκτικόν M, ὁρατικόν A, εὖ τι κακόν ἄρα GF.

fab. fr. 950 N)

'τίς δ' ἐστὶ δοῦλος τοῦ θανεῖν ἄφροντις ὤν';

ὑπακουστέον ὅτι καὶ περὶ πόνου καὶ νόσου ταὐτὸν εἴρηκεν.

**101** Plutarchus quomodo adol. poët. aud. debeat p. 31 E. *δεῖ δὲ μηδὲ τῶν ὀνομάτων ἀμελῶς ἀκούειν, ἀλλὰ τὴν μὲν Κλεάνθους παιδιὰν παραιτεῖσθαι· κατειρωνεύεται γὰρ ἔστιν ὅτε προσποιούμενος ἐξηγεῖσθαι τὸ*

'Ζεῦ πάτερ Ἴδηθεν μεδέων' (Γ 320)

καὶ τὸ

'Ζεῦ ἄνα Δωδωναῖε' (Π 233)

κελεύων ἀναγιγνώσκειν ὑφ' ἕν, ὡς τὸν ἐκ τῆς γῆς ἀναθυμιώμενον ἀέρα διὰ τὴν ἀνάδοσιν ἀναδωδωναῖον ὄντα. καὶ Χρύσιππος δὲ πολλαχοῦ γλίσχρος ἐστίν, οὐ παίζων ἀλλ' εὑρησιλογῶν ἀπιθάνως, καὶ παραβιαζόμενος 'εὐρυόπα Κρονίδην' εἶναι τὸν δεινὸν ἐν τῷ διαλέγεσθαι καὶ διαβεβηκότα τῇ δυνάμει τοῦ λόγου.

## § 5. Περὶ ζητήσεως.

Scripsit Chrysippus περὶ ζητήσεως duo volumina cf. n. 13 v.

**102** Clemens Al. Strom. VI 14 p. 801 Pott. ἔστιν δὲ ἡ μὲν ζήτησις ὁρμὴ ἐπὶ τὸ καταλαβεῖν διά τινων σημείων ἀνευρίσκουσα τὸ ὑποκείμενον· ἡ εὕρεσις δὲ πέρας καὶ ἀνάπαυσις ζητήσεως ἐν καταλήψει γενομένης.

**103** Cicero Acad. Pr. II 26. (i. e. Antiochus contra ἀκαταληψίαν disputans). Quid quod, si ista vera sunt, ratio omnis tollitur, quasi quaedam lux lumenque vitae! — nam quaerendi initium ratio attulit, quae perfecit virtutem, cum esset ipsa ratio confirmata quaerendo. quaestio autem est adpetitio cognitionis, quaestionisque finis inventio. at nemo invenit falsa, nec ea quae incerta permanent, inventa esse possunt, sed cum ea, quae quasi involuta fuerunt, aperta sunt, tum inventa dicuntur. sic et initium quaerendi et exitus percipiendi et comprehendendi ⟨facultate⟩ tenetur.

**104** Plutarchus apud Olympiodorum in Plat. Phaedon. p. 125, 7 ed. Finckh. Ὅτι ἄπορον ὄντως εἰ οἷόντε ζητεῖν καὶ εὑρίσκειν, ὡς ἐν Μένωνι (p. 80 E) προβέβληται· οὔτε γὰρ ἃ ἴσμεν· μάταιον γάρ· οὔτε ἃ μὴ ἴσμεν· κἂν γὰρ περιπέσωμεν αὐτοῖς, ἀγνοοῦμεν, ὡς τοῖς τυχοῦσιν. — — οἱ δὲ ἀπὸ τῆς Στοᾶς τὰς φυσικὰς ἐννοίας αἰτιῶνται· εἰ μὲν δὴ δυνάμει, τὸ αὐτὸ ἐροῦμεν· εἰ δὲ ἐνεργείᾳ, διὰ τί ζητοῦμεν ἃ ἴσμεν; εἰ δὲ ἀπὸ τούτων ἄλλα ἀγνοούμενα, πῶς ἅπερ οὐκ ἴσμεν.

---

3 ταὐτὰ libri, corr. Herch. Hoc et quod sequitur fragmentum Chrysippi hic collocavi, quia ad artem poëtas explicandi i. e. grammaticam pertinent, eiusque artis cum philosophia necessitudinem. Referenda sunt ad libros: περὶ τοῦ πῶς δεῖ τῶν ποιημάτων ἀκούειν β'. 5 Cf. I n. 535 (Cleanthes) II n. 1062. 23 dux *Bentley*. 29 facultate *addidi*. ‖ tenetur *Bentley*, tenet *libri*. 31 ἄπορον ὄντως Wyttenbachius, ἀπόρου ὄντος libri. 34 φυσικαὶ ἔννοιαι apud Chrysippum eadem sunt quae προλήψεις.

## § 6. *Περὶ κριτηρίου.*

Qualis sit norma iudicii. Esse normam iudicii contra Scepticos defenditur.

**105** Diogenes Laërt. VII 54. *κριτήριον δὲ τῆς ἀληθείας φασὶ τυγχάνειν τὴν καταληπτικὴν φαντασίαν, τουτέστι τὴν ἀπὸ ὑπάρχοντος, καθάφησι Χρύσιππος ἐν τῇ β′ τῶν Φυσικῶν καὶ Ἀντίπατρος καὶ Ἀπολλόδωρος. ὁ μὲν γὰρ Βόηθος κριτήρια πλείονα ἀπολείπει, νοῦν καὶ αἴσθησιν καὶ ὄρεξιν καὶ ἐπιστήμην· ὁ δὲ Χρύσιππος διαφερόμενος πρὸς αὐτὸν ἐν τῷ πρώτῳ περὶ λόγου κριτηριά φησιν εἶναι αἴσθησιν καὶ πρόληψιν.*

**106** Augustinus de civ. dei VIII 7. qui posuerunt iudicium veritatis in sensibus corporis eorumque — regulis — omnia quae discuntur metienda esse censuerunt, ut Epicurei et quicumque alii tales, ut etiam ipsi Stoici, qui cum vehementer amaverint sollertiam disputandi, quam dialecticam nominant, a corporis sensibus eam ducendam putarunt, hinc asseverantes animum concipere notiones, quas appellant *ἐννοίας*, earum rerum scilicet quas definiendo explicant; hinc propagari atque conecti totam discendi docendique rationem.

**107** Sextus adv. math. VII 35. *πάρεστι μέντοι καὶ τὸ λογικὸν τοῦτο* (scil. *κριτήριον*) *ὑποδιαιρεῖσθαι, λέγοντας τὸ μέν τι εἶναι κριτήριον ὡς ὑφ' οὗ, τὸ δὲ ὡς δι' οὗ, τὸ δὲ ὡς προσβολὴ καὶ σχέσις. ὑφ' οὗ μὲν ὡς ἄνθρωπος, δι' οὗ δὲ ὡς αἴσθησις, τὸ δὲ τρίτον ὡς ἡ προσβολὴ τῆς φαντασίας.* 37. *καὶ ἔοικε τῷ μὲν ζυγοστάτῃ ἢ τέκτονι ὁ ἄνθρωπος, ὑφ' οὗ γίνεται ἡ κρίσις, τῷ δὲ ζυγῷ καὶ κανόνι ἡ αἴσθησις καὶ ἡ διάνοια, δι' ἧς γίνεται τὰ τῆς κρίσεως, τῇ δὲ σχέσει τῶν προειρημένων ὀργάνων ἡ προσβολὴ τῆς φαντασίας, καθ' ἣν ὁ ἄνθρωπος ἐπιβάλλεται κρίνειν.*

**108** Origenes contra Celsum VII 37 Vol. II p. 187, 22 Kö. (p. 720 Del.) dicit Celsum *δογματίζειν παραπλησίως τοῖς ἀναιροῦσι νοητὰς οὐσίας Στωϊκοῖς περὶ τοῦ αἰσθήσεσιν καταλαμβάνεσθαι τὰ καταλαμβανόμενα καὶ πᾶσαν κατάληψιν ἠρτῆσθαι τῶν αἰσθήσεων.*

**109** Plutarchus de Stoic. repugn. cp. 10 p. 1036c. *Ἐπὶ δὲ τοῖς κατὰ Συνηθείας ἐκδοθεῖσιν οὕτω κομῶσιν καὶ μεγαληγοροῦσιν, ὥστε τοὺς πάντων ὁμοῦ τῶν Ἀκαδημαϊκῶν λόγους εἰς ταὐτὸ συμφορηθέντας, οὐκ ἀξίους εἶναι παραβαλεῖν οἷς Χρύσιππος ἔγραψεν εἰς διαβολὴν τῶν αἰσθήσεων — — ἐκεῖνο δ' ἀληθές, ὅτι βουληθεὶς αὖθις συνειπεῖν τῇ Συνηθείᾳ καὶ ταῖς αἰσθήσεσιν, ἐνδεέστερος γέγονεν ἑαυτοῦ, καὶ τὸ σύνταγμα τοῦ συντάγματος μαλακώτερον.* — — p. 1036e. *Ἡδέως ἂν οὖν πυθοίμην τῶν Στωϊκῶν, εἰ τὰ Μεγαρικὰ*

---

5 *ἐν τῆι β′* scripsi. — *ἐν τῇ ιβ̄* P, *ἐν τῇ ῑβ* B, *ἐν τῇ δυωδεκάτῃ* F 6 *πολλὰ* F. ‖ *ἀπολίπειν οὖν* B. 8 *αὐτὸν* BPF, *αὑτὸν* scribendum esse, certum est. ‖ *ἐν τῷ περὶ λόγου ᾱ* F. 20 Haec Stoicis Sextum debere probabile est. 24 patet *αἴσθησιν* hic significare *τὴν τῶν αἰσθητηρίων κατασκευήν*. Cf. n. 71. 28 *νοητῶν οὐσιῶν* A, corr. Hoe. 29 *αἰσθήσεσιν* Jol. corr., *αἴσθησιν* A.

*ἐρωτήματα δυναμικώτερα νομίζουσιν εἶναι τῶν ὑπὸ Χρυσίππου κατὰ τῆς Συνηθείας ἐν ἓξ βιβλίοις γεγραμμένων;* p. 1037a. *αὐτὸς δὲ τοσαῦτα βιβλία γράφων κατὰ τῆς Συνηθείας, οἷς, εἴτι ἀνεῦρες, προσέθηκας, ὑπερβαλέσθαι φιλοτιμούμενος τὸν Ἀρκεσίλαον — — οὐδὲ γὰρ ψιλοῖς χρῆται τοῖς κατὰ τῆς συνηθείας ἐπιχειρήμασι, ἀλλ' ὥσπερ ἐν δίκῃ μετὰ πάθους τινὸς συνεπιπάσχων, μωρολογεῖν τε πολλάκις λέγει καὶ κενοκοπεῖν.*

Cicero Acad. Pr. II 87. *res iam universas profundam, de quibus volumina impleta sunt non a nostris solum, sed etiam a* Chrysippo *— de quo queri solent Stoici, dum studiose omnia conquisierit contra sensus et perspicuitatem contraque omnem consuetudinem contraque rationem, ipsum sibi respondentem inferiorem fuisse: itaque ab eo armatum esse Carneadem.*

idem Acad. Pr. II 75. *Atqui habebam molestos vobis, sed minutos, Stilponem, Diodorum, Alexinum, quorum sunt contorta et aculeata quaedam σοφίσματα — sic enim appellantur fallaces conclusiunculae. Sed quid eos colligam, cum habeam* Chrysippum, *qui fulcire putatur porticum Stoicorum? Quam multa ille contra sensus, quam multa contra omnia, quae in consuetudine probantur. At dissolvit idem. Mihi quidem non videtur: sed dissolverit sane. Certe tam multa non collegisset, quae nos fallerent probabilitate magna, nisi videret iis resisti non facile posse.*

**110** Cicero Acad. Pr. II 67. Sed illud primum, sapientem, si assensurus esset, etiam opinaturum, falsum esse et Stoici dicunt et eorum adstipulator Antiochus: posse enim eum falsa a veris et quae non possint percipi ab iis quae possint distinguere.

**111** Cicero Acad. Pr. II 26 (i. e. Antiochus contra *ἀκαταληψίαν* disputans). Argumenti conclusio, quae est Graece *ἀπόδειξις*, ita definitur: ratio, quae ex rebus perceptis ad id, quod non percipiebatur, adducit. 27. quodsi omnia visa eius modi essent, qualia isti dicunt, ut ea vel falsa esse possent, neque ea posset ulla ratio discernere, quo modo quemquam aut conclusisse aliquid aut invenisse diceremus aut quae esset conclusi argumenti fides?

**112** Plutarchus de comm. not. cp. 36 p. 1077c. *ἀκοῦσαι τοίνυν ἔστιν αὐτῶν καὶ γράμμασιν ἐντυχεῖν πολλοῖς πρὸς τοὺς Ἀκαδημαϊκοὺς διαφερομένων καὶ βοώντων, ὡς πάντα πράγματα συγχέουσι ταῖς ἀπαραλλαξίαις, ἐπὶ δυεῖν οὐσιῶν ἕνα ποιὸν εἶναι βιαζόμενοι· καίτοι τοῦτο μὲν οὐκ ἔστιν ὅστις ἀνθρώπων οὐ διανοεῖται καὶ τοὐναντίον οἴεται θαυμαστὸν εἶναι καὶ παράδοξον, εἰ μήτε φάττα φάττῃ μήτε μελίττῃ μέλιττα μήτε πυρῷ πυρὸς ἢ σύκῳ τὸ τοῦ λόγου σῦκον ἐν τῷ παντὶ χρόνῳ γέγονεν ἀπαράλλακτον.*

**113** Cicero Acad. Pr. II 85. Stoicum est quidem nec admodum cre-

---

3 *εἴτι ἀνεῦρες* Turnebus, *τι ἀνεῦρες* vel *τινὰ νεῦρα* libri. 15 Silibonem *libri,* corr. Lambin. 19 addissolvit *libri,* corr. Davisius. 22 primum: scil. in conclusione Arcesilai. 31 dicemus *libri optimi.* 40 Stoicum sed est *libri.*

dibile „nullum esse pilum omnibus rebus talem, qualis sit pilus alius, nullum granum“.

**114** Cicero Acad. Pr. II 54. cur id potius contenditis, quod rerum natura non patitur, ut non ⟨in⟩ suo quidque genere sit tale, quale est, nec sit in duobus aut pluribus nulla re differens ulla communitas? ibid. 56 quod dilucide docetur a politioribus physicis, singularum rerum singulas proprietates esse.

**115** Cicero Acad. Pr. II 37 (i. e. Antiochus contra ἀκαταληψίαν disputans). nunc de adsensione atque adprobatione, quam Graeci συγκατάθεσιν vocant, pauca dicemus. — — nam cum vim, quae esset in sensibus, explicabamus, simul illud aperiebatur, comprendi multa et percipi sensibus, quod fieri sine adsensione non potest. deinde cum inter inanimem et animal hoc maxime intersit, quod animal agit aliquid (nihil enim agens ne cogitari quidem potest quale sit), aut ei sensus adimendus est aut ea, quae est in nostra potestate sita, reddenda assensio. — 38 sed haec etiam sequuntur, nec memoriam sine adsensione posse constare nec notitias rerum nec artes; idque quod maximum est, ut sit aliquid in nostra potestate, in eo, qui rei nulli adsentietur, non erit. Ubi igitur virtus, si nihil situm est in ipsis nobis?

**116** Cicero Acad. Pr. II 24 (i. e. Antiochus contra ἀκαταληψίαν disputans). Atque etiam illud perspicuum est, constitui necesse esse initium, quod sapientia, cum quid agere incipiat sequatur, idque initium esse naturae accommodatum. Nam aliter adpetitio (eam enim volumus esse ὁρμήν), qua ad agendum impellimur et id adpetimus, quod est visum, moveri non potest. illud autem, quod movet, prius oportet videri eique credi; quod fieri non potest, si id, quod visum erit, discerni non poterit a falso. quomodo autem moveri animus ad adpetendum potest, si id, quod videtur, non percipitur accommodatumne naturae sit an alienum?

Itemque si, quid officii sui sit, non occurrit animo, nihil unquam omnino aget, ad nullam rem unquam impelletur, numquam movebitur. Quodsi aliquid aliquando acturus est, necesse est id ei verum, quod occurrit videri.

**117** Cicero Acad. Pr. II 23 (i. e. Antiochus). Maxime vero virtutum cognitio confirmat percipi et comprehendi multa posse. in quibus solis inesse etiam scientiam dicimus, quam nos non comprehensionem modo rerum, sed eam stabilem quoque et immutabilem esse censemus, itemque sapientiam, artem vivendi, quae ipsa ex sese habeat constantiam. Ea autem constantia si nihil habeat percepti et cogniti, quaero unde nata sit aut quo modo.

**118** Sextus adv. math. VII 440. ἀλλ᾽ εἰώθασιν ἀνθυποφέροντες οἱ δογματικοὶ ζητεῖν πῶς ποτε καὶ ὁ σκεπτικὸς τὸ μηδὲν εἶναι κριτήριον ἀποφαίνεται· ἤτοι γὰρ ἀκρίτως τοῦτο λέγει ἢ μετὰ κριτηρίου· καὶ εἰ μὲν ἀκρίτως,

---

4 in add. Lambin. 5 nulla Lambin. 7 singularum rerum singulas proprietates = ἰδίως ποιά. 13 inter animum *libri optimi*. 36 eam scientiam quoque *C. F. W. Müller*. Ad scientiae definitionem cf n. 90 sq. 37 etiam *idem*. ‖ quoque *om. idem*. 38 sapientiam itemque *transp. idem*. ‖ quae aptam ex sese *idem*.

ἄπιστος γενήσεται, εἰ δὲ μετὰ κριτηρίου, περιτραπήσεται καὶ λέγων μηδὲν εἶναι κριτήριον ὁμολογήσει εἰς τὴν τούτου παράστασιν κριτήριον παραλαμβάνειν.

πάλιν τε ἡμῶν συνερωτώντων „εἰ ἔστι κριτήριον, ἤτοι κέκριται ἢ ἄκριτόν ἐστι“ καὶ δυοῖν θάτερον συναγόντων ἤτοι τὴν εἰς ἄπειρον ἔκπτωσιν ἢ τὸ ἀτόπως ἑαυτοῦ τι κριτήριον εἶναι λέγεσθαι, ἀντιπαρεξάγοντές φασι μὴ ἄτοπον ὑπάρχειν τὸ ἑαυτοῦ τι κριτήριον ἀπολείπειν. καὶ γὰρ ἑαυτοῦ τὸ εὐθὺ καὶ ἄλλων ἐστὶ δοκιμαστικόν, καὶ ὁ ζυγὸς τῆς τε τῶν ἄλλων ἰσότητος καὶ τῆς ἰδίας σταθμητικὸς ὑπῆρχεν, καὶ τὸ φῶς οὐ μόνον τῶν ἄλλων ἀλλὰ καὶ ἑαυτοῦ ἐκκαλυπτικὸν φαίνεται, διόπερ καὶ τὸ κριτήριον δύναται καὶ ἄλλων καὶ ἑαυτοῦ κριτήριον καθεστάναι.

**119** Sextus adv. math. XI 162. ὅθεν καὶ καταφρονεῖν ἀναγκαῖον τῶν εἰς ἀνενεργησίαν αὐτὸν (scil. τὸν σκεπτικόν) περικλείεσθαι νομιζόντων ἢ εἰς ἀπέμφασιν· καὶ εἰς ἀνενεργησίαν μὲν ὅτι τοῦ βίου παντὸς ἐν αἱρέσεσι καὶ φυγαῖς ὄντος ὁ μήτε αἱρούμενός τι μήτε φεύγων δυνάμει τὸν βίον ἀρνεῖται καί τινος φυτοῦ τρόπον ἐπεῖχεν, εἰς ἀπέμφασιν δὲ ὅτι ὑπὸ τυράννῳ ποτὲ γενόμενος καὶ τῶν ἀῤῥήτων τι ποιεῖν ἀναγκαζόμενος ἢ οὐχ ὑπομενεῖ τὸ προσταττόμενον ἀλλ' ἑκούσιον ἑλεῖται θάνατον, ἢ φεύγων τὰς βασάνους ποιήσει τὸ κελευόμενον, οὕτω τε οὐκέτι „ἀφυγὴς καὶ ἀναίρετος“ ἔσται κατὰ τὸν Τίμωνα, ἀλλὰ τὸ μὲν ἑλεῖται, τοῦ δ' ἀποστήσεται· ὅπερ ἦν τῶν μετὰ πείσματος κατειληφότων τὸ φευκτόν τι εἶναι καὶ αἱρετόν. ταῦτα δὴ λέγοντες οὐ συνιᾶσιν etc.

**120** Galenus adv. Iulianum 5. Vol. XVIII A p. 268 K. εἰ μή τις τὴν διαφωνίαν ἱκανὸν οἴεται μάρτυρα εἶναι τῆς ἀγνοίας τοῦ δόγματος, ἐξαίφνης ἀπορητικός τις ἀντὶ Στωϊκοῦ γεγονώς. εἰ γὰρ δὴ τούτῳ πέπεισαι τῷ λόγῳ, φάσκοντι μηδὲν τῶν διαπεφωνημένων πᾶσι τοῖς φιλοσόφοις εἰς γνῶσιν ἀνθρωπίνην ἀφικέσθαι δύνασθαι etc.

**121** Clemens Al. Stromat. VIII 5 (II p. 923 Pott.). *Πρὸς τοὺς Πυῤῥωνείους.* Εἰ ⟨μέν⟩ φησιν ἡ ἐποχὴ βέβαιον εἶναι μηδέν, δῆλον ὅτι ἀφ' ἑαυτῆς ἀρξαμένη πρῶτον ἀκυρώσει ἑαυτήν. ἢ τοίνυν δίδωσιν ἀληθές τι εἶναι καὶ οὐ περὶ πάντων ἐφεκτέον, ἢ ἐνίσταται μηδὲν εἶναι ἀληθὲς λέγουσα καὶ δῆλον ὅτι οὐδ' αὐτὴ πρότερον ἀληθεύσει. ἤτοι γὰρ αὐτὴ ἀληθεύει ἢ οὐκ ἀληθεύει. ἀλλ' εἰ μὲν ἀληθεύει, δίδωσιν ἄκουσά τι εἶναι ἀληθές. εἰ δὲ μὴ ἀληθεύει, ἀληθῆ ἀπολείπει ἅπερ ἀνελεῖν ἐβούλετο. ἐν ᾧ γὰρ ψευδὴς δείκνυται ἡ ἀναιροῦσα ἐποχή, ἐν τούτῳ τὰ ἀναιρούμενα ἀληθῆ δείκνυται, ὡς ὁ ὄνειρος ὁ λέγων ψευδεῖς εἶναι πάντας τοὺς ὀνείρους. αὐτῆς γὰρ ἀναιρετικὴ οὖσα τῶν ἄλλων γίνεται κυρωτική. καὶ ὅλως εἰ ἔστιν ἀληθής, ἀφ' ἑαυτῆς ποιήσεται τὴν ἀρχήν, οὐκ ἄλλου τινὸς οὖσα ἐποχή, ἀλλ' ἑαυτῆς πρῶτον. ἔπειτα εἰ καταλαμβάνει τις ὅτι ἄνθρωπός ἐστιν ἢ ὅτι ἐπέχει, δῆλός ἐστι μὴ ἐπέχων. πῶς δ' ἂν καὶ τὴν ἀρχὴν εἰς τὴν ἀμφισβήτησιν ἀφίκετο περὶ

---

6 ἑαυτοῦ τι Bk, αὐτοὺς τὸ libri. 7 ἑαυτοῦ Bk., ἐξ αὐτοῦ libri. ‖ καὶ γὰρ ἑαυτοῦ τὸ Bk., τὸ γὰρ ἑαυτοῦ libri. ‖ ζυγὸς Bk., λόγος libri. 10 Agnoscitur Chrysippus. Cf. n. 54. 12 Stoici haec sunt contra Pyrrhoneos disputantis. 14 αἱρέσεσι Bk., αἱρέσει libri. 16 τρόπον libri, malim τόπον. 20 ὑπειληφότων coni. Bk. 25 Scil. Stoici pugnabant contra Scepticorum argumenta e dissensione philosophorum ducta. 29 εἰ μέν φησιν scripsi, εἴη φασὶν vulgo. 36 αὐτῆς Sylb., αὐτοῦ vulgo. 37 κυριωτική vulgo. 39 καταλαμβάνει τις scpripsi, καταλαμβάνεται vulgo. 40 ἐπέχων scripsi, ἐπέχειν vulgo.

πάντων ἐπέχων· πῶς δ' ἂν καὶ ἀπεκρίνετο πρὸς τὸ ἐρωτηθέν; περὶ γὰρ αὐτοῦ τούτου δῆλός ἐστιν οὐκ ἐπέχων· καὶ μὴν καὶ ἀποφαίνεται ὅτι ἐπέχει. ὃ καὶ εἰ δεῖ πειθόμενον αὐτοῖς περὶ πάντων ἐπέχειν, περὶ αὐτῆς πρότερον τῆς ἐποχῆς ἐφέξομεν, εἴτε πειστέον αὐτῇ εἴτε καὶ μή. ἔτι εἰ τοῦτο αὐτό ἐστι τὸ ἀληθὲς τὸ μὴ εἰδέναι τὸ ἀληθές, οὐδὲ τὴν ἀρχὴν ἀληθές τι παρ' ἐκείνου δίδοται. εἰ δὲ καὶ τοῦτο ἀμφισβητήσιμον ἐρεῖ, τὸ ἀγνοεῖν τἀληθές, ἐν αὐτῷ τούτῳ δίδωσιν εἶναι τὸ ἀληθὲς γνώριμον, ἐν ᾧ τὴν περὶ αὐτοῦ ἐποχὴν φαίνεται μὴ βεβαιῶν. εἰ δὲ αἵρεσίς ἐστι πρόσκλισις δογμάτων ἤ, ὥς τινες, πρόσκλισις δόγμασι πολλοῖς ἀκολουθίαν πρὸς ἄλληλα καὶ τὰ φαινόμενα περιέχουσι, πρὸς τὸ εὖ ζῆν συντείνουσα· καὶ τὸ μὲν δόγμα ἐστὶ κατάληψίς τις λογική· κατάληψις δὲ ἕξις καὶ συγκατάθεσις τῆς διανοίας ⟨οὐκ ἂν εἴη αἵρεσις ἡ τῶν ἐφεκτικῶν. καίτοι⟩ οὐ μόνον οἱ ἐφεκτικοί, ἀλλὰ καὶ πᾶς δογματικὸς ἔν τισιν ἐπέχειν εἴωθεν, ἤτοι παρὰ γνώμης ἀσθένειαν ἢ παρὰ πραγμάτων ἀσάφειαν ἢ παρὰ τὴν τῶν λόγων ἰσοσθένειαν.

---

1 verba *πῶς δ' ἂν—ἐπέχων* e libro Paris. addit Potter in adnotatione. 2 *καὶ* scripsi, *ναὶ* vulgo. 5 *οὐδὲ*] scribendum: *εὐθύς*. 10 *περιέχουσι* Potter in adn., *περιέχουσα* vulgo. 12 verba *οὐκ ἂν — καίτοι* supplevi.